www.e-rara.ch

# Thēsauros. Keraz amaldeiaz, kai kēpoi adōnidos

Bolzanio, Urbano

Venetiis, [Aug. 1496]

Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-152037

[Z]

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Ἑώρων· ἀπὸ τοῦ ὁρῶ, ὁ παρατατικὸς ὥρων, καὶ πλεονασμῷ τοῦ ε, ἑώρων, μετὰ δασείας φυλαττομένης· ὡσαύτως καὶ ἀπὸ τοῦ οἰνοχοῶ, ᾠνοχόουν· καὶ πλεονασμῷ τοῦ ε, ἐωνοχόουν· καὶ ἀπὸ τοῦ ὠνῶ, ὠνοῦμαι, ὤνημαι, ἐώνημαι, καὶ ἐωνημένος.

Ἔωσεν· ὤθω βαρύτονον, ὤσω, ὦσα, ὦσε, καὶ ἔωσεν.

Ἐὼν ἤγουν ὑπάρχων, κοινῶς μὲν δοκεῖ ἀπὸ τοῦ ἦον δευτέρου ἀορίστου γενέσθαι· διὸ καὶ ἀναλόγως ὀξυτονεῖσθαι. Ἡρακλείδης δὲ παραλόγως ὀξύνεσθαι αὐτό φησι, καὶ ἡμαρτῆσθαι λογιζόμενος αὐτὸ οὐ μετοχὴν δευτέρου ἀορίστου ἀπὸ θέματος τοῦ ἔω βαρυτόνου, ἀλλὰ ἐκ περισπωμένου τοῦ ὦ, ἤγουν ὑπάρχω· ἔτι δὲ λέγει σφοδρῶς, καὶ ὅτι ἔγωγε ἄνοιαν καταδικάζω τῶν οἰομένων ἐπέκτασιν τοῦ ὢν εἶναι τὴν ἐὼν μετοχήν, οὐδεμία γάρ φησιν εἰς ων λήγουσα μετοχὴ μετεκτείνεται διὰ τοῦ ε. εἶτα γράψας τὰ δοκοῦντα ἐν οἷς· καὶ ὅτι πᾶσα μετοχὴ εἰς ων λήγουσα καθαρὸν ὀξύτονος, τὸ ι ἔχει παραλῆγον, οἷον πιών, κιών, ἰών. ἐπάγει ὥστε ἄμεινον ἡμῶν Βοιωτοὶ τὴν ἐὼν ἰὼν λέγουσι. μέμφεται δὲ καὶ τὸν Σιδώνιον Διονύσιον εἰπόντα διαλέκτῳ Ἀτθίδι πεποιῆσθαι ὅσα πλεονάζει τὸ ε κατ᾽ ἀρχάς, ὧν ἐστι καὶ τὸ ἐωνοχόει· καὶ τὸ ἐών. ἀγνοεῖ δέ φησιν ἐκεῖνος τὸ ἔργων, ἐέργων· καὶ τὸ ἔλπων, ἐέλπων· καὶ τὸ ἔειπε, ἀντὶ τοῦ εἶπε.

Ἐωνοχόει· κανόνισον, οἰνοχοέω, οἰνοχοῶ· καὶ ἡ μετοχὴ ὁ οἰνοχοέων, ὁ οἰνοχοῶν, τοῦ οἰνοχοέοντος, οἰνοχοοῦντος· καὶ ὁ παρατατικὸς ᾠνοχόεον, ᾠνοχόουν, ᾠνοχόεε, εἰς τὸ τρίτον, ᾠνοχόει· καὶ πλεονασμῷ τοῦ ε, ἐωνοχόει.

## ΑΡΧΗ ΤΟΥ ·Ζ· ΣΤΟΙΧΕΙΟΥ·

ζ αήν, ἄνεμον τὸν σφοδρῶς πνέοντα. Ὅμηρος ὦρσε δὲ ἐπὶ ζαὴν ἄνεμον· ὥσπερ παρὰ τὸ πέτω γίνεται πέτην, οὕτως καὶ παρὰ τὸ ἄω τὸ πνέω, γίνεται ἀήν· καὶ μετὰ τοῦ ζα μορίου, ζαήν· τὸ δὲ τέλειον, ζαῆνα· ὡς

πετῆνα. ζαλὴν γὰρ ζαλῆος κλίνεται, ἀλλὰ κατ᾽ ἔκθλιψιν.

Ζαθέην, ἄγαν θείαν· ἤγουν θαυμαστὴν· καὶ πολλῆς θέας ἀξίαν.

Ζατρεύω τὸ ἐν μύλωνι κυρίως βασανίζω, παρὰ τὸ ζα ἐπιτατικόν· καὶ τὸ τρέω τὸ φοβοῦμαι· ζατρεύω· ὅθεν καὶ ζητρεῖον τὸ τῶν δούλων δεσμωτήριον, ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι, παρὰ τὸ δεῖν τὸ δεσμεύειν· καὶ τὸ τρεῖν τὸ φοβεῖσθαι, ζητρεῖον· τροπῇ τοῦ δ εἰς ζ, καὶ τῆς ει εἰς η. ἢ παρὰ τὸ ζα καὶ τὸ τρεῖν, ζατρεῖον· καὶ ζητρεῖον τροπῇ τοῦ α εἰς η.

Ζατρεφέων ἄγαν εὐτραφῶν, παρὰ τὸ ζα καὶ τὸ τρέφω ὁ ζατρεφές.

Ζαφλεγέες· ἄγαν καὶ μεγάλως πεφλεγμένοι· ἢ λαμπρὸς ἐκ τοῦ ζα καὶ τοῦ φλέγω.

Ζάφελος σημαίνει τὸν ἄγαν ηὐξημένον, παρὰ τὸ ζα καὶ τὸ ὀφέλλω τὸ αὔξω· ἢ ὠφελῶ· βαρύνεται δὲ τὸ ζάφελος τῷ τοιούτῳ λόγῳ· τὰ εἰς ος λήγοντα συγκείμενα παρὰ τὸ ζα προπαροξύνεται· οἷον ζάπλουτος· ζάθεος· ζάκορος· ζάκυρος· οὕτως καὶ τὸ ζάφελος, ζαφέλου· τὸ δὲ ζαφελῶς ἐπίρρημα, περισπᾶται· ἐπειδὴ τὰ διὰ τοῦ λως ἐπιρρήματα, παραλήγοντα τῷ ε· ὡς ἐπὶ τὸ πλεῖστον, θέλει περισπᾶσθαι· οἷον, εὐτελῶς· παντελῶς· ἐπιμελῶς· οἷς καὶ τὸ ζαφελῶς συνεξέδραμε. πρόσκειται ὡς ἐπὶ τὸ πλεῖστον, διὰ τὸ εὐτραπελέως.

Ζεὺς τῶν εἰς ευς ὀνομάτων ὑπὲρ μίαν συλλαβὴν ὄντων, μονήρης μένει ὁ ζεύς· ὡς μονοσύλλαβος πολλαῖς εὐθείαις παρὰ τοῖς παλαιοῖς ποικίλλεται· δὶς γὰρ οὗ γενικὴ διός· καὶ ζήν· καὶ ζάν· καὶ ζὰς καὶ ζὴς παρὰ Φερεκύδῃ· καὶ βοιωτικῶς, δεύς· καὶ δάν· καὶ τοῦ ζεύς, ἔστι καὶ αἰτιατικὴ παρὰ Πολυκράτει τῷ σοφιστῇ μονοσύλλαβος τὸν ζεῦν περισπωμένη κατὰ τὸ λίς, λῖν· καὶ τὰ λοιπὰ τοιαῦτα μονοσύλλαβα.

Ζείδωρος, ἡ τὰ πρὸς ζωὴν δωρουμένη· τροπῇ βοιωτικῇ τοῦ η εἰς τὴν ει· ὡς τέθηκα, καὶ οὕτως ὠτειλή· ἢ παρὰ τὸ ζείας